# ΙΟΥΔΑ

1 Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ
Ἰακώβου, τοῖς ἐν Θεῷ πατρὶ *ἡγιασμένοις, καὶ
Ἰησοῦ Χριστῷ τετηρημένοις, κλητοῖς· 2 ἔλεος
ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.
3 Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος
γράφειν ὑμῖν περὶ τῆς †κοινῆς σωτηρίας,
ἀνάγκην ἔσχον γράψαι ὑμῖν, παρακαλῶν
ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς
ἁγίοις πίστει. 4 ‡Παρεισέδυσαν γάρ τινες
ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο
τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν §χάριν
μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον
δεσπότην *Θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν
Χριστὸν ἀρνούμενοι.
5 Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας
†ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος, λαὸν ἐκ
γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ
πιστεύσαντας ἀπώλεσεν. 6 Ἀγγέλους τε τοὺς
μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ‡ἀλλὰ
ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν

---

* **1:1** ηγιασμενοις 90.2% ¦ ηγαπημενοις CT 8.9% † **1:3** κοινης 83.7% ¦ κοινης ημων CT 11.1% ‡ **1:4** παρεισεδυσαν 98.2% ¦ παρεισεδυησαν WH 0.4% § **1:4** χαριν 99.3% ¦ χαριτα CT 0.7% * **1:4** θεον 78.7% ¦ — ANT CT 12.9% † **1:5** υμας απαξ τουτο οτι ο κυριος 69.4% ¦ υμας απαξ παντα οτι ιησους ECM NA28 SBL 0.2% ¦ απαξ παντα οτι ιησους TH 0.2% ¦ υμας παντα οτι ο κυριος απαξ NA27 0% ¦ απαξ παντα οτι κυριος WH 0% ‡ **1:6** αλλα ¦ αλλ ECM NA28 PCK

μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον
τετήρηκεν. 7 Ὡς Σόδομα καὶ Γόμορρα, καὶ
αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον §τούτοις
τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι
ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα,
πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.

8 Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι
σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι,
δόξας δὲ βλασφημοῦσιν. 9 Ὁ δὲ Μιχαὴλ ὁ
ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος
διελέγετο περὶ τοῦ *Μωϋσέως σώματος, οὐκ
ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας,
†ἀλλ᾽ εἶπεν, Ἐπιτιμήσαι σοι Κύριος. 10 Οὗτοι
δὲ ὅσα μὲν οὐκ οἴδασι βλασφημοῦσιν· ὅσα
δὲ φυσικῶς, ὡς τὰ ἄλογα ζῷα, ἐπίστανται,
ἐν τούτοις φθείρονται. 11 Οὐαὶ αὐτοῖς· ὅτι τῇ
ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ
Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ
τοῦ Κόρε ἀπώλοντο. 12 Οὗτοί εἰσιν ‡ἐν ταῖς
ἀγάπαις ὑμῶν σπιλάδες, §συνευωχούμενοι,
ἀφόβως ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι
ἄνυδροι, ὑπὸ ἀνέμων *παραφερόμεναι· δένδρα
φθινοπωρινά, ἄκαρπα, δὶς ἀποθανόντα,
ἐκριζωθέντα· 13 κύματα ἄγρια θαλάσσης,
ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας· ἀστέρες

§ **1:7** τουτοις τροπον 84.1% ¦ τροπον τουτοις CT 8.4% * **1:9** μωυσεως 36.4% ¦ μωσεως ANT BYZ HF PCK TR 60.1% † **1:9** αλλ ¦ αλλα NA27 SBL TH WH ‡ **1:12** εν 85.7% ¦ οι εν CT 14.1% § **1:12** συνευωχουμενοι 83.6% ¦ συνευωχουμενοι υμιν SCR 16.4% * **1:12** παραφερομεναι 87.4% ¦ περιφερομεναι TR 4.7%

πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς †αἰῶνα
τετήρηται.
14 ‡Προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος
ἀπὸ Ἀδὰμ Ἑνώχ, λέγων, Ἰδού, ἦλθε Κύριος
ἐν §ἁγίαις μυριάσιν αὐτοῦ, 15 ποιῆσαι κρίσιν
κατὰ πάντων, καὶ *ἐλέγξαι †πάντας τοὺς
ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων
ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν, καὶ περὶ
πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν κατ᾽
αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. 16 Οὗτοί εἰσι
γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας
‡αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν
λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα
§ὠφελείας χάριν.
17 Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν
*ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν
ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·
18 ὅτι ἔλεγον ὑμῖν †ὅτι ‡ἐν ἐσχάτῳ χρόνῳ
ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν
ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν.

---

† **1:13** αιωνα 54.6% ¦ τον αιωνα ANT TR 37% ‡ **1:14** προεφητευσε 97.4% ¦ επροφητευσε WH 0.4% § **1:14** αγιαις μυριασιν 88.4% ¦ μυριασιν αγιαις TR 5.1% * **1:15** ελεγξαι 88% ¦ εξελεγξαι TR 10.2% † **1:15** παντας τους ασεβεις αυτων 79.5% ¦ παντας τους ασεβεις SBL TH WH 15.8% ¦ πασαν ψυχην ECM NA 0.6% ‡ **1:16** αυτων 48.3% ¦ εαυτων BYZ ECM NA PCK 47.2% § **1:16** ωφελειας ¦ ωφελιας WH * **1:17** ρηματων των προειρημενων 90.8% ¦ προειρημενων ρηματων ECM* 7% † **1:18** οτι 98.5% ¦ — ECM* NA$^{28}$ SBL WH 1.5% ‡ **1:18** εν εσχατω χρονω 77.8% ¦ επ εσχατου του χρονου NA$^{27}$ 5.3% ¦ επ εσχατου χρονου ECM NA$^{28}$ SBL TH WH 1.4%

19 Οὗτοί εἰσιν οἱ §ἀποδιορίζοντες, ψυχικοί,
πνεῦμα μὴ ἔχοντες. 20 Ὑμεῖς δέ, ἀγαπητοί,
*τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες
ἑαυτούς, ἐν Πνεύματι Ἁγίῳ προσευχόμενοι,
21 ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε,
προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον. 22 Καὶ οὓς
μὲν †ἐλεεῖτε διακρινόμενοι· 23 ‡οὓς δὲ ἐν φόβῳ
σῴζετε, ἐκ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ
τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.
24 Τῷ δὲ δυναμένῳ φυλάξαι §αὐτοὺς
ἀπταίστους, καὶ στῆσαι κατενώπιον τῆς
δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει,
25 μόνῳ *σοφῷ Θεῷ σωτῆρι †ἡμῶν, δόξα ‡καὶ
μεγαλωσύνη, κράτος καὶ ἐξουσία, §καὶ νῦν
καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

---

§ **1:19** αποδιοριζοντες 77.5% ¦ αποδιοριζοντες εαυτους SCR 20.8% * **1:20** τη αγιωτατη υμων πιστει εποικοδομουντες εαυτους 78% ¦ εποικοδομουντες εαυτους τη αγιωτατη υμων πιστει CT 9.5% † **1:22** ελεειτε διακρινομενοι 88% ¦ ελεγχετε διακρινομενους TH 6.9% ¦ ελεατε διακρινομενους ECM NA SBL WH 2.1% ‡ **1:23** ους δε εν φοβω σωζετε εκ πυρος αρπαζοντες 66.9% ¦ ους δε εν φοβω σωζετε εκ του πυρος αρπαζοντες ANT TR 8% ¦ ους δε σωζετε εκ πυρος αρπαζοντες ους δε ελεατε εν φοβω ECM NA SBL TH 5% ¦ σωζετε εκ πυρος αρπαζοντες ους δε ελεατε εν φοβω WH 0.2% § **1:24** αυτους 63% ¦ υμας CT SCR 21.9% * **1:25** σοφω 82.3% ¦ — CT 7.4% † **1:25** ημων 77.9% ¦ ημων δια ιησου χριστου του κυριου ημων CT 21.1% ‡ **1:25** και 86.4% ¦ — CT 11.2% § **1:25** και 78.4% ¦ προ παντος του αιωνος και CT 13.2%

# Η Καινή Διαθήκη
## The New Testament in Ancient Greek with critical text notes

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Translation by: Maurice A. Robinson

Contributor: Robert Adam Boyd

The Text-Critical Greek New Testament is based upon The New Testament in the Original Greek: Byzantine Textform 2018, compiled and arranged by Maurice A. Robinson and William G. Pierpont.

The following disclaimer is printed in the The New Testament in the Original Greek: Byzantine Textform 2018:

Anyone is permitted to copy and distribute this text or any portion of this text. It may be incorporated in a larger work, and/or quoted from, stored in a database retrieval system, photocopied, reprinted, or otherwise duplicated by anyone without prior notification, permission, compensation to the holder, or any other restrictions. All rights to this text are released to everyone and no one can reduce these rights at any time. Copyright is not claimed nor asserted for either the preface, notes, or the new and revised form of the Greek NT text of this edition, nor for the original form of such as initially released into the public domain by the editors, first as printed textual notes in 1979, continuous-text electronic form 1986–present, and in published editions from 1991, 2005, and 2010.

The permitted use or reproduction of the Greek text or other material contained within this volume (whether by print, electronic media, or other form) does not imply doctrinal or theological agreement by the present editors and publisher with whatever views may be maintained or promulgated by other publishers. For the purpose of assigning responsibility, it is requested that the present editors' names and the title associated with this text as well as this disclaimer be retained in any subsequent reproduction of this material.

2024-03-15

---

PDF generated using Haiola and XeLaTeX on 15 Mar 2024 from source files dated 15 Mar 2024

ebdf933b-03a4-5add-853f-51a05e168973